ἔῤῥωσθ' pro ἐῤῥῶσθαι, volunt inquit te pauperem eſ- A ſe & propterea valere, niſi mauis ἐῤῥῶσθαι pro οἰμώζειν vt dicitur ἐῤῥῶσθαι εἰπών, & Latini ſic valere, vt Catullus: Cum ſuis viuat valeátque mœchis. Sed quia in fab. Pluto: Paupertas ait facere ſe fortes & robuſtos, fortaſſis huc reſpexit cùm ait πένητα εἶναι καὶ ἐῤῥῶσθαι. Τὸν τιθασευτὴν] Metri gratia vnicum eſt σ, nam vulgare eſt τιθασεύειν, Innuit aũt Cleonem Demagogum. Sunt autem verba ἐπισίζειν & ἐπιῤῥύζειν incitationis & inuaſionis, & ficta à duabus literis σ & ρ, vt apud Æſchylum ἐπώζειν ab inclamatione ὤ. Lycophron & Eratoſthenes grãmatici veteres laudati à Scholiaſta, dicunt ἐπισίζειν eſſe (puta cum ſibilò) canes dimittere, & ἐπιῤῥύζαι irruere cum voce. Sic enim canes iritati & incitati ringunt primum, deinde latratu premunt hoſtem vel feram, & diriter inſultant, propterea dixit ἀγρίως ἐπιπηδᾷς.

Εἰσὶν γε πόλεις χίλιαι, αἳ νῦν τὸν φόρον ἡμῖν ἀπάγουσι.	B Sunt vrbes innumeræ quæ nobis nunc adferre tributa
Τούτων εἴκοσιν ἄνδρας βόσκειν εἴ τις προσέταξεν ἑκάστῃ,	*Solitæ: ſi quis viginti hominum cuique alimenta imperet vni*
Δύο μυριάδες τῶν δημοτικῶν ἔζων ἐν πᾶσι λαγῴοις.	*Gemina ex noſtro populo myrias potuiſſet viuere lautè*
Καὶ στεφάνοισιν παντοδαποῖσιν, καὶ πύῳ, καὶ πυαρίτῃ.	*Inter lepores & lac preſſum omnigenis ornata coronis.*
Ἄξια τῆς γῆς ἀπολαύοντες, καὶ τοῦ 'ν Μαραθῶνι τροπαίου.	C *Regione velut dignum eſt iſta, Marathoneisq́; triumphis:*
Νῦν δ' ὥσπερ ἐλαολόγοι, χωρεῖθ' ἅμα τῷ τὸν μισθὸν ἔχοντι.	*At nunc viles vt oliuilegæ ad mercedem curritis illam.*
Φι. Οἴμοι. τί ποτ' ὥσπερ νάρκη μου κατὰ τῆς χειρὸς καταχεῖται,	PH. *Hei mi, quid hoc eſt? mea quod manus hæc veluti torpore ligatur*
Καὶ τὸ ξίφος οὐ δύναμαι κατέχειν. ἀλλ' ἤδη μαλθακός εἰμι.	*Iam nec gladium retinere queo, eneruatæ ſunt mihi vires.*
Βδε. Ἀλλ' ὁπόταν μὲν δείσωσ' αὐτοί, τὴν Εὔβοιαν διδόασιν	BD. *Vbi verò iſtos timor accendit, tum non promittere parcunt*
Ὑμῖν. καὶ σῖτον ὑφίστανται κατὰ πεντήκοντα μεδίμνους	D *Eubœam nobis, & quinquaginta ſpondere viritim*
Ποριεῖν. ἔδοσαν δ' οὐπώποτέ σοι, πλὴν πρῴην πέντε μεδίμνους.	*Modios frumenti, quamuis nunquam tibi niſi quinque dederunt.*

Σχόλια. Πόλεις χίλιαι] ἀντὶ τοῦ πολλαί. τῷ ἀπηρτισμένῳ ἀριθμῷ ἐχρήσατο. ἢ καὶ ἀπὸ ἱστορίας τὸ τοιοῦτον ἔλαβεν. Δύο μυριάδες.] ἐκ πολλοῦ φαίνεται περὶ τοσοῦτον ἀριθμὸν τῶν Ἀθηναίων πλῆθος προϊστάναι. καὶ Δημοσθένης γάρ φησιν, εἰσὶ δ' ὁμοῦ δισμύριοι πάντες E Ἀθηναῖοι. Ἐν πᾶσι λαγῴοις] ἐν ἀγαθοῖς πᾶσι. τοῦτο γὰρ δηλοῖ τὸ ἐν πᾶσι λαγῴοις. ἀντὶ τοῦ ἐν τρυφῇ. Καὶ πύῳ καὶ πυαρίτῃ] πυαρίτης τὸ πυρίεφθον ὑπό τινων προσαγορευόμενον. ὃ κατασκευάζουσιν ἐκ τοῦ πρώτου γάλακτος μετὰ τὸν τόκον δαινύμενοι, καὶ ἐμπιπλάμενοι πυαρίτην. ὅθεν τισὶν ἔδοξε, πύον μὲν εἶναι τὸ πρῶτον γάλα οὑτωσὶ λαμβανόμενον. πυριάτην δὲ τὸ ἑφθὸν γάλα. ὁ δὲ Παλαμήδης, τὸ αὐτὸ λέγων εἶναι γράφει. ἔθος δὲ τοῖς ποιηταῖς, παραλλήλαις λέξεσιν ἰσοδυναμούσαις χρῆσθαι.

Bisetvs. Εὐστάθιος δὲ πυὸν ὀξυτόνως, καὶ ἀρσενικῶς καλεῖ. πυός, φησιν, ὀξυτόνως κατ' ἀρσενικὸν γένος, F καὶ πύαρ, ὅ ἐστι τὸ πιότατον τοῦ γάλακτος, ὅθεν καὶ πυαρίτης, τὸ καὶ πύρεφθον, ἐδώδιμόν τι, ὃ γίνεται ἐκ πρώτου γάλακτος. Ἀριστοφάνης ἐν Εἰρήνῃ, Ἦν δὲ πυός τις ἔνδον, καὶ λαγῷα τέτταρα. ἐκεῖ τὰ σχόλια ταύτην τὴν λέξιν οὕτως ἑρμηνεύει. τὸ πρῶτον γάλα, ὃ καὶ ἑψόμενον πήγνυται. καὶ ἡμεῖς χυτεῖτιν λέγομεν. τὸ μεταβεβληκὸς αἷμα, τὸ γαλακτῶδες ὑγρόν. γάλα νέον μετὰ χθεσινοῦ γάλακτος ἀμελχθέν. οἱ δὲ πύος παροξυτόνως γράφουσιν, ὡς καὶ ἐνταῦθα ὁρῶμεν, ἀπὸ δὲ τοῦ πυαρ δολιχῆς ἐκ τοῦ πύαρ ταυτὸ σημαίνοντος τῷ πύος, γίνεται πυαρίτης. ὡς ἀπὸ τοῦ κρίβανος κριβανίτης ἄρτος καλούμενος. καὶ τοῦτο ἀναλογώτερον, καὶ πιθανώτερον ἢ τὸ πυριάτης. τὸ δὲ τῶν παλαιῶν σχολίων ἑξάμετρον οὕτω γραπτέον δοκεῖ,

Πύον δαινύμενοι, καὶ ἐμπιπλάμενοι πυαρίτην.

Christ. Πόλεις χίλιαι.] Putat Scholiaſtes mille poſitum pro multis, Non puto, Itaque potius amplector quod addit ἢ ἀπὸ ἱστορίας τὸ τοιοῦτον ἔλαβεν. Dixit autem propriè φόρον, ſic enim vocabatur tributum ciuitatibus indictum, quod ipſi ferre tenebantur, ἀπάγουσι poſitum pro ἐπάγουσι, quamuis ipſum ἀπάγειν rectum eſt & deportationem notet à loco ad locum. Δύο μυριάδες.] Rectè numerum ſubducit, atque hinc apparet τὸ χίλιαι in propria ſignificatione accipiendum non pro πολλαί, Nam ſi mille ciuitatum vna quæque viginti populares alat, neceſſe eſt popularium numerum excurrere ad viginti mille, quæ, vt arbitror, ſunt duæ Myriades. Quem numerum, non eſſe verum videtur autumare Scholiaſtes, quia Demoſthenes dixerit, εἰσὶ δ' ὁμοῦ δισμύριοι πάντες Ἀθηναῖοι, quod fortaſſis de vrbe ipſa Athenis intelligendum. Dixit autem ἐν πᾶσι λαγῴοις, pro in deliciis & bonis omnimodis, vt videatur inter quadrupedes lepus fuiſſe in prima commendatione, quod Martialis poſtea dixit. G Καὶ πύῳ, καὶ πυριάτῃ.] Sunt qui diſtinguant hæc duo vt πύος ſit τὸ πρῶτον γάλα, & vt ait Galenus, τὸ μετ' ἀποκύησιν ἀμελχθέν, quod ſic Martialis vocat quum ſcribit, De primo matrum lacte coloſtra damus, πυαρίτης autem lac coctum quod & πυρίεφθον dicitur. At Palamedes grammaticus hęc duo eadem facit & ἐκ παραλλήλου.

Σχόλια.